δόμησεν τὴν Αδιδα ἐν τῇ Σεφηλα καὶ ὠχύρωσεν αὐτὴν καὶ ἐπ-
έστησεν θύρας καὶ μοχλούς.
[39] Καὶ ἐζήτησεν Τρύφων βασιλεῦσαι τῆς Ἀσίας καὶ περιθέσθαι 39
τὸ διάδημα καὶ ἐκτεῖναι χεῖρα ἐπ᾽ Ἀντίοχον τὸν βασιλέα. [40] καὶ 40
εὐλαβήθη μήποτε οὐκ ἐάσῃ αὐτὸν Ιωναθαν καὶ μήποτε πολεμήσῃ
πρὸς αὐτόν, καὶ ἐζήτει συλλαβεῖν αὐτὸν τοῦ ἀπολέσαι, καὶ ἀπάρας
ἦλθεν εἰς Βαιθσαν. [41] καὶ ἐξῆλθεν Ιωναθαν εἰς ἀπάντησιν αὐτῷ ἐν 41
τεσσαράκοντα χιλιάσιν ἀνδρῶν ἐπιλελεγμέναις εἰς παράταξιν καὶ
ἦλθεν εἰς Βαιθσαν. [42] καὶ εἶδεν Τρύφων ὅτι ἦλθεν μετὰ δυνάμεως 42
πολλῆς, καὶ ἐκτεῖναι χεῖρας ἐπ᾽ αὐτὸν εὐλαβήθη. [43] καὶ ἐπεδέξατο 43
αὐτὸν ἐνδόξως καὶ συνέστησεν αὐτὸν πᾶσιν τοῖς φίλοις αὐτοῦ
καὶ ἔδωκεν αὐτῷ δόματα καὶ ἐπέταξεν τοῖς φίλοις αὐτοῦ καὶ ταῖς
δυνάμεσιν αὐτοῦ ὑπακούειν αὐτοῦ ὡς αὐτοῦ. [44] καὶ εἶπεν τῷ Ιωνα- 44
θαν Ἵνα τί ἐκόπωσας πάντα τὸν λαὸν τοῦτον πολέμου μὴ ἐν-
εστηκότος ἡμῖν; [45] καὶ νῦν ἀπόστειλον αὐτοὺς εἰς τοὺς οἴκους αὐτῶν, 45
ἐπίλεξαι δὲ σεαυτῷ ἄνδρας ὀλίγους, οἵτινες ἔσονται μετὰ σοῦ, καὶ
δεῦρο μετ᾽ ἐμοῦ εἰς Πτολεμαίδα, καὶ παραδώσω σοι αὐτὴν καὶ τὰ
λοιπὰ ὀχυρώματα καὶ τὰς δυνάμεις τὰς λοιπὰς καὶ πάντας τοὺς
ἐπὶ τῶν χρειῶν, καὶ ἐπιστρέψας ἀπελεύσομαι· τούτου γὰρ χάριν
πάρειμι. [46] καὶ ἐμπιστεύσας αὐτῷ ἐποίησεν καθὼς εἶπεν, καὶ ἐξ- 46
απέστειλεν τὰς δυνάμεις, καὶ ἀπῆλθον εἰς γῆν Ιουδα. [47] κατέλιπεν δὲ 47
μεθ᾽ ἑαυτοῦ ἄνδρας τρισχιλίους, ὧν δισχιλίους ἀφῆκεν ἐν τῇ Γα-
λιλαίᾳ, χίλιοι δὲ συνῆλθον αὐτῷ. [48] ὡς δὲ εἰσῆλθεν Ιωναθαν εἰς 48
Πτολεμαίδα, ἀπέκλεισαν οἱ Πτολεμαεῖς τὰς πύλας καὶ συνέλαβον
αὐτόν, καὶ πάντας τοὺς συνεισελθόντας μετ᾽ αὐτοῦ ἀπέκτειναν ἐν
ῥομφαίᾳ. [49] καὶ ἀπέστειλεν Τρύφων δυνάμεις καὶ ἵππον εἰς τὴν 49
Γαλιλαίαν καὶ τὸ πεδίον τὸ μέγα τοῦ ἀπολέσαι πάντας τοὺς παρὰ
Ιωναθου. [50] καὶ ἐπέγνωσαν ὅτι συνελήμφθη καὶ ἀπόλωλεν καὶ οἱ 50
μετ᾽ αὐτοῦ, καὶ παρεκάλεσαν ἑαυτοὺς καὶ ἐπορεύοντο συνεστραμ-
μένοι ἕτοιμοι εἰς πόλεμον. [51] καὶ εἶδον οἱ διώκοντες ὅτι περὶ ψυχῆς 51
αὐτοῖς ἐστιν, καὶ ἐπέστρεψαν. [52] καὶ ἦλθον πάντες μετ᾽ εἰρήνης 52

38 σεφηλα] + πεδ(ε)ινη S*V† | αυτην και επεστ. SVLa†] > rel. || 39 εκτειναι] εξετ(ε)ινεν S† | χειρα] pr. την S†, -ρας A || 40 εζητει SLa†] + πορον (του) rel. | απολεσαι] αποκτειναι A pau. | βαιθ(uel βεθ)σαν] ν > A: item in 41 || 41 επιλελεγμεναις] ς > A†, -μενων Sc || 42 ηλθεν SLa†] παρεστιν uel sim. rel. | και ult. > SV† (ScVc† add. και ante ευλαβηθη) || 43 ενδοξως] ευλογως S*† | συνεστησεν] συνεταξεν S*† | φιλοις αυτου $1^0 \frown 2^0$ S*V† | αυτου paenult. S*V pau.] -τω rel. | ως αυτου] ωσαυτως A*L* || 44 εκοπωσας V*L*] εκοψας SA pl. | παντα > SV† | πολ. / μη ενεστ. ημιν] tr. S*L* || 45 επιλεξαι] -ξον A | λοιπας] πολλας A† || 46 δυναμεις] + ιωναθαν Sc | και ult.] αι S*† || 47 ων] ως A†, και ως ανδρας S† | τη > S* pau. || 48 πτολεμαεις] -μαιται A† | συνεισελθ. S†] συν > *L*, εισ > A | μετ αυτου] μετ > S†, αυτω Sc† || 49 την > A† | και $3^0$] εις A pau. | ιωναθου: cf. 2 5 || 50 init.] pr. ους S† | οτι] οτε δε S† | συνεστρεμμενοι A: cf. Thack. p. 286 || 51 αυτοις εστιν] tr. A